Burton & Goodspeed # 34: The Choosing of the Twelve

| Mark 3:13-19 | Luke 6:12-19 |
|---|---|
| **Mark 3:13** | **Luke 6:12** |
| | Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις |
| Καὶ ἀναβαίνει εἰς τὸ ὄρος | ἐξελθεῖν αὐτὸν εἰς τὸ ὄρος |
| | προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ |
| | προσευχῇ τοῦ θεοῦ. |
| | **13** καὶ ὅτε ἐγένετο ἡμέρα, |
| καὶ προσκαλεῖται | προσεφώνησεν |
| οὓς ἤθελεν αὐτός, | τοὺς μαθητὰς αὐτοῦ, |
| καὶ ἀπῆλθον πρὸς αὐτόν. | καὶ |
| **14** καὶ ἐποίησεν δώδεκα | ἐκλεξάμενος ἀπ’ αὐτῶν δώδεκα, |
| [οὓς καὶ ἀποστόλους ὠνόμασεν] | οὓς καὶ ἀποστόλους ὠνόμασεν, |
| ἵνα ὦσιν μετ’ αὐτοῦ καὶ ἵνα | |
| ἀποστέλλῃ αὐτοὺς κηρύσσειν | |
| **15** καὶ ἔχειν ἐξουσίαν ἐκβάλλειν τὰ | |
| δαιμόνια· | |
| **16** [καὶ ἐποίησεν τοὺς δώδεκα,] | |
| καὶ ἐπέθηκεν ὄνομα τῷ Σίμωνι Πέτρον, | **14** Σίμωνα ὃν καὶ ὠνόμασεν Πέτρον, |
| | καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, |
| **17** καὶ Ἰάκωβον | καὶ Ἰάκωβον |
| τὸν τοῦ Ζεβεδαίου | |
| καὶ Ἰωάννην τὸν ἀδελφὸν | καὶ Ἰωάννην |

| | |
|---|---|
| τοῦ Ἰακώβου | |
| καὶ ἐπέθηκεν αὐτοῖς ὀνόμα[τα] | |
| Βοανηργές, ὅ ἐστιν Υἱοὶ Βροντῆς· | |
| **18** καὶ Ἀνδρέαν | |
| καὶ Φίλιππον καὶ Βαρθολομαῖον | καὶ Φίλιππον καὶ Βαρθολομαῖον |
| καὶ Μαθθαῖον καὶ Θωμᾶν | **15** καὶ Μαθθαῖον καὶ Θωμᾶν |
| καὶ Ἰάκωβον τὸν τοῦ Ἁλφαίου | καὶ Ἰάκωβον Ἁλφαίου |
| καὶ Θαδδαῖον καὶ Σίμωνα τὸν Καναναῖον | καὶ Σίμωνα τὸν καλούμενον Ζηλωτὴν |
| | **16** καὶ Ἰούδαν Ἰακώβου |
| **19** καὶ Ἰούδαν Ἰσκαριώθ, | καὶ Ἰούδαν Ἰσκαριώθ, |
| ὃς καὶ παρέδωκεν αὐτόν. | ὃς ἐγένετο προδότης. |
| | **17** Καὶ καταβὰς μετ᾽ αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος πολὺς μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος,<br>**18** οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ἐνοχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων ἐθεραπεύοντο,<br>**19** καὶ πᾶς ὁ ὄχλος ἐζήτουν ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. |

Mark: 104 – 10 = 94 Luke: 149 – 11 = 138 Identical: 64/232 = 27.59%